Ἐπὶ τῆς ἀναπαύλας. μανθάνεις; Ξανθ. πάνυ μανθάνω.
Οἴμοι κακοδαίμων, τῷ ξυνέτυχον ἐξιών;
Χα. Κάθιζ' ἐπὶ κώπην. εἴ τις ἐπιπλεῖ, σπευδέτω.
Οὗτος, τί ποιεῖς; Δι. ὅτι ποιῶ; τί δ' ἄλλο γ' ἢ
Ἵζω 'πὶ κώπην, οὗπερ ἐκέλευσάς με σύ;
Χα. Οὔκουν καθεδεῖ δῆτ' ἐνθαδὶ γάστρων; Δι. ἰδού.
Χα. Οὔκουν προβαλεῖ τὼ χεῖρε κἀκτενεῖς; Δι. ἰδού.
Χα. Οὐ μὴ φλυαρήσης ἔχων, ἀλλ' ἀντιβὰς
Ἐλᾷς προθύμως. Δι. κᾆτα πῶς δυνήσομαι
Ἄπειρος, ἀθαλάττωτος, ἀσαλαμίνιος
Ὢν, εἶτ' ἐλαύνειν; Χα. ῥᾷστ'. ἀκούσει γὰρ μέλη
Κάλλιστ', ἐπειδὰν ἐμβάλῃς ἅπαξ. Δι. τίνων;
Χα. Βατράχων, κύκνων θαυμαστά. Δι. κατακέλευε δή.
Χα. Ὢ ὀπ ὄπ, ὢ ὀπ ὄπ.

A *Sunt diuersoria: intellexti?* XA. *intelligo.*
*Ah me miserum, cuinam occurri egressus homini?*
*CH. Sede ad remum, quòd si quis praeterea velit*
*Adnauigare, is ocyus huc properet. Sed heus*
*Tu, quidnam agis?* BA. *quid ago? quid enim aliud, nisi*
B *Quòd ibi sedeo, vbi me sedere iusseras?*
*CH. Non igitur huc sedebis tu, venter popa?* BA. *en.*
CH. *Non proijcies manus, atque extendes ita?* BA. *en.*
CH. *Non nugas quaeso ne agito: dum remum tenes:*
*Sed strenuè renitendo iam nauim age.*
BA. *At quomodo possim, rei qui nauticae*
C *Rudis, neque expertus mare, nec Salaminius*
*Sum, nauigare?* CH. *facillimè, quia audies*
*Lepidissimos cantus, vbi remum semel*
*Tantùm inieceris aquae.* BA. *quos cantus obsecro?*
CH. *Ranarum, velut olorum.* BA. *age celeusma incita.*
CH. *Oop, op. oop, op.*

D

Σχόλια. Τῷ ξυνέτυχον.] ἀντὶ τοῦ τίνι οἰωνῷ ξυνέτυχον, ἐξιὼν τῆς οἰκίας. δύναται δὲ τοῦτο καὶ ὁ Διόνυσος καὶ ὁ Ξανθίας λέγειν. Κάθιζ' ἐπὶ κώπην.] τοῦτο ἀκούσας ὁ Διόνυσος ἐπάνω τῆς κώπης ἐκάθισε. Γάστρων.] γαστρίμαργε. εἰσάγουσι γὰρ τὸν Διόνυσον προγάστορα καὶ οἰδαλέον ἀπὸ τῆς ἀργίας καὶ οἰνοφλυγίας. Μὴ φλυαρήσης ἔχων.] καὶ Πλάτων Εὐθυδήμῳ. ὅτι ἔχων φλυαρεῖς καὶ ἀρχαιότερος εἶ τοῦ δέοντος. Ἀθαλάττωτος.] θέλει εἰπεῖν, ὅτι μὴ ναυτικός. ἀθαλάττωτος δὲ καὶ E ἀσαλαμίνιος, ταυτόν ἐστιν. ἢ διὰ τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τὴν κατὰ Ξέρξου, ἢ ὅτι ἡ μὲν ἑτέρα τῶν ὑπηρετίδων νεῶν, Σαλαμινία ἐκαλεῖτο. ἡ δὲ ἑτέρα Πάραλος. Ὢ ὀπ ὄπ. ὢ ὀπ ὄπ.] ἔκθεσις μέλους χοροῦ μονοστροφική. ἧς προτίθεται τὸ τοιοῦτον κῶλον δακτυλικὸν ὂν δίμετρον ἀκατάληκτον. κατὰ γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. τὰ δὲ τοῦ χοροῦ κῶλά εἰσι ιβ. ὧν τὸ πρῶτον καὶ β τροχαϊκὰ ἑφθημιμερῆ τὸν πρῶτον ἔχοντα πόδα τετράβραχυν ἤτοι χορεῖον. εἰ δὲ βούλει παιωνικὰ δίμετρα ἀκατάληκτα, ἐκ παίωνος τετάρτου καὶ διιάμβου. τὰ ἑξῆς δύο χοριαμβικὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ. τὸ πέμπτον τρίμετρον καταληκτικόν. τὸ ς μονόμετρον ἢ ἰαμβικὴ βάσις. τὸ ζ δίμετρον ὑπερκατάληκτον ἰωνικὸν ἀπὸ μείζονος. τὸ η χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. τοῦ μὲν πρώτου ποδὸς πεντασυλλάβου τῆς πρώτης μακρᾶς εἰς δύο βραχείας διαλυομένης ἐκ χορείου καὶ ἰάμβου, ὅθεν ἴσως καὶ χοριαμβικὸν ἐκλήθη. τοῦ δὲ δευτέρου ἰωνικοῦ ἀπὸ μείζονος. τοῦ δὲ τρίτου διιάμβου. τὸ ἔνατον χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἑξῆς ὅμοιον. τὸ παρατέλευτον τρίμετρον ἀκατάληκτον ὃ καλεῖται προσωδιακόν, διὰ τὸ τὸν πρῶτον ἔχειν πόδα ἰωνικὸν ἀπὸ μείζονος. τὸ τελευταῖον ὡς τὸ πρῶτον. ἐπὶ τῷ τέλει κορωνίς. τὸ δὲ ὢ ὀπ ἐλατικὸν ἐπίφθεγμα. ναυτικῶς οὖν κελεύων ταῦτά φησι.

F

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ πέμπτη.

ΧΟΡΟΣ ΒΑΤΡΑΧΩΝ, ΔΙΟΝΥΣΟΣ, ΧΑΡΩΝ.

## ACTVS I. SCENA quinta.

CHORVS RANARVM, BACCHVS, CHARON.

G

BISETVS. Τῷ Διονύσῳ τὴν στυγίαν λίμνην διαπερῶντι ὁ τῶν Βατράχων χορὸς μετὰ χαρᾶς ὑπαντᾷ, καὶ τῇ ἑαυτοῦ κοαξήσει τὸν Διόνυσον ὑμνεῖ.

Βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Βρεκεκεκὲξ, κοὰξ, κοάξ.

*Brekekekex, coax, coax:*
*Brekekekex, coax, coax.*